13 καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς, ὡσαύτως συμπαρήμην σοι. [13]καὶ BA
ὅτε οὐκ ὤκνησας ἀναστῆναι καὶ καταλιπεῖν τὸ ἄριστόν σου,
ὅπως ἀπελθὼν περιστείλῃς τὸν νεκρόν, οὐκ ἔλαθές με ἀγαθοποιῶν,
14 ἀλλὰ σὺν σοὶ ἤμην. [14]καὶ νῦν ἀπέστειλέν με ὁ θεὸς ἰάσασθαί σε
15 καὶ τὴν νύμφην σου Σαρραν. [15]ἐγώ εἰμι Ραφαηλ, εἷς ἐκ τῶν ἑπτὰ
ἁγίων ἀγγέλων, οἳ προσαναφέρουσιν τὰς προσευχὰς τῶν ἁγίων
καὶ εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου.
16 [16]Καὶ ἐταράχθησαν οἱ δύο καὶ ἔπεσον ἐπὶ πρόσωπον, ὅτι ἐφο-
17 βήθησαν. [17]καὶ εἶπεν αὐτοῖς Μὴ φοβεῖσθε, εἰρήνη ὑμῖν ἔσται· τὸν
18 δὲ θεὸν εὐλογεῖτε εἰς τὸν αἰῶνα. [18]ὅτι οὐ τῇ ἐμαυτοῦ χάριτι, ἀλλὰ
τῇ θελήσει τοῦ θεοῦ ἡμῶν ἦλθον· ὅθεν εὐλογεῖτε αὐτὸν εἰς τὸν
19 αἰῶνα. [19]πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ οὐκ ἔφαγον οὐδὲ
20 ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε. [20]καὶ νῦν ἐξομολογεῖσθε τῷ
θεῷ, διότι ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ γράψατε πάντα
21 τὰ συντελεσθέντα εἰς βιβλίον. [21]καὶ ἀνέστησαν· καὶ οὐκέτι εἶδον
22 αὐτόν. [22]καὶ ἐξωμολογοῦντο τὰ ἔργα τὰ μεγάλα καὶ θαυμαστὰ τοῦ
θεοῦ καὶ ὡς ὤφθη αὐτοῖς ὁ ἄγγελος κυρίου.

13 αγαθον ποιων A || 17 ειρηνη] pr. οτι A || 18 ημων] υμ. BA† | ηλθον > B† || 21 ουκετι] ουκ B || 22 του θεου και] αυτου B† | ο > B†

---

13 καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς, ὡσαύτως· [13]καὶ ὅτε οὐκ ὤκνησας ἀνα- S
στῆναι καὶ καταλιπεῖν σου τὸ ἄριστον καὶ ᾤχου καὶ περιέστειλες
14 τὸν νεκρόν, τότε ἀπέσταλμαι ἐπὶ σὲ πειράσαι σε. [14]καὶ ἅμα ἀπ-
έσταλκέν με ὁ θεὸς ἰάσασθαί ⟨σε⟩ καὶ Σαρραν τὴν νύμφην σου.
15 [15]ἐγώ εἰμι Ραφαηλ, εἷς τῶν ἑπτὰ ἀγγέλων, οἳ παρεστήκασιν καὶ
εἰσπορεύονται ἐνώπιον τῆς δόξης κυρίου.
16 [16]Καὶ ἐταράχθησαν οἱ δύο καὶ ἔπεσαν ἐπὶ πρόσωπον αὐτῶν καὶ
17 ἐφοβήθησαν. [17]καὶ εἶπεν αὐτοῖς Μὴ φοβεῖσθε, εἰρήνη ὑμῖν· τὸν
18 θεὸν εὐλογεῖτε εἰς πάντα τὸν αἰῶνα. [18]ἐγὼ ὅτε ἤμην μεθ᾽ ὑμῶν,
οὐχὶ τῇ ἐμῇ χάριτι ἤμην μεθ᾽ ὑμῶν, ἀλλὰ τῇ θελήσει τοῦ θεοῦ·
19 αὐτὸν εὐλογεῖτε κατὰ πάσας τὰς ἡμέρας, αὐτῷ ὑμνεῖτε. [19]καὶ ἐθε-
ωρεῖτέ με ὅτι οὐκ ἔφαγον οὐθέν, ἀλλὰ ὅρασις ὑμῖν ἐθεωρεῖτο.
20 [20]καὶ νῦν εὐλογεῖτε ἐπὶ τῆς γῆς κύριον καὶ ἐξομολογεῖσθε τῷ θεῷ.
ἰδοὺ ἐγὼ ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με. γράψατε πάντα
21 ταῦτα τὰ συμβάντα ὑμῖν. καὶ ἀνέβη. [21]καὶ ἀνέστησαν· καὶ οὐκέτι
22 ἠδύναντο ἰδεῖν αὐτόν. [22]καὶ ηὐλόγουν καὶ ὕμνουν τὸν θεὸν καὶ
ἐξωμολογοῦντο αὐτῷ ἐπὶ τὰ ἔργα αὐτοῦ τὰ μεγάλα ταῦτα, ὡς
ὤφθη αὐτοῖς ἄγγελος θεοῦ.

14 ⟨σε⟩ add. Fr. || 19 εθεωρειτε Fr.] ε 1° > S